## Charlie hebdo

Ernst Vogt hat in FC 4/15, 282f. darauf hingewiesen, dass seine 14-jährige Enkelin Clara in dem Französischen Gymnasium Berlin Griechisch lernt und welche Möglichkeiten bestehen, unter anderem anhand von Veröffentlichungen wie Jochen Schmidts „Schmythologie", das Nützliche mit dem Angenehmen beziehungsweise das Angenehme mit dem Nützlichen zu verbinden. Dazu auch FC 1/2002, 25ff. und 2/2008, 122ff. sowie IANUS 32, 2011, 44ff. (erweiterter Auszug aus dem noch ungedruckten Hauptvortrag einer Tagung, die die Botschaft der Hellenischen Republik in Deutschland zum Thema „Griechische Lexik in den modernen europäischen Sprachen" durchführte: „Olympionike, Porno und Verwandtes. Ernstes und Heiteres zur griechischen Lexik im Deutschen". Aber das Griechische spielt nicht nur im Deutschen eine Rolle; besonders reizvoll für eine in französischer Sprache Griechisch lernende Gymnasiastin ist wohl der Name der vor Jahresfrist von Terroristen überfallenen Redaktion der Pariser Zeitschrift „Charlie hebdo": *hebdo*, gesprochen *ebdó* ist die Kurzform von *hebdomadaire* [zu ἕβδομος „siebenter"] „Wochenschrift", mit Weglassung des Hauchlautes, der in mehreren romanischen Sprachen keine Rolle mehr spielt, vgl. ital. *ebdomadario* „Wochenblatt". Provokant zugespitzt heißt es im Titel des oben erwähnten Buches: „Wer kein Griechisch kann, kann gar nichts" …

Jürgen Werner, Berlin

## Ἀττικιστὶ διαλέγεσθαι ἐν τῷ κήπῳ τῶν Μουσῶν 13 – 27 Αὐγούστου 2016

Ἀκμάζοντος τοῦ θέρους κατὰ τὸ σύνηθες φίλαι καὶ φίλοι μέν τινες φιλέλληνες ἐν τῷ καλουμένῳ κήπῳ τῶν Μουσῶν ἀθροίσονται ὡς συναττικίσοντες. Οὗτος δὲ ὁ κῆπος, μέγας καὶ ἐπίσκιος καὶ παραθαλάττιος ὤν, εὑρίσκεται ἐν τῷ Ἑλληνικῷ Εἰδυλλίῳ. Καλλίστη δὲ γενήσεται ἡ ἡμετέρα διδασκαλία πολλῶν καὶ ἄλλων φιλελλήνων τῶν λόγων μετεχόντων.

Διὰ μὲν οὖν τοῦτο παρακαλοῦμεν πάσας καὶ πάντας ὑμᾶς ἐκ πάσης τῆς οἰκουμένης, αἵ/οἳ χαίρετε τῇ τῶν ἀρχαίων σοφίᾳ καὶ τοῖς λόγοις αὐτῶν, προσελθόντες συνδιαλέγεσθαι ἡμῖν. Ποία δὲ γενήσεται ἡ διδασκαλία; Δίς τοι τῆς ἡμέρας ἐν τόπῳ χαρίεντι τοῦ κήπου συλλεγόμεθα καὶ αναγιγνώσκομεν γράμματα ἀρχαῖα ἐξηγούμενοι αὐτὰ κατὰ τὸ ἔθος τῶν φιλολόγων.

Οὐδενὶ δὲ ἀνάγκη ἔσται ἐξ ἀρχῆς ἀττικιστὶ ὥσπερ Γοργίας μακροὺς λόγους προφέρειν. Ἔξεστι γὰρ παντὶ τὸ πρῶτον μόνον ἀκροατὴς γενέσθαι. Ἀλλὰ ταχέως ὄψεσθε ὡς ῥαδίως ταῖς τῶν ἀρχαίων Ἑλλήνων λέξεσιν διαλεγόμεθα. Μελέτη γὰρ τὸ πᾶν, ὥς φησι Περίανδρος.

Ἡ δὲ ἐν τῷ Ἑλληνικῷ Εἰδυλλίῳ διαγωγὴ οὐ μονον ἐκ διαλόγων σύγκειται, ἀλλὰ καὶ ἄλλα γένοιτο ἂν πολλά. Πολλάκις γὰρ μουσικοί τε καὶ ἄλλοι τινὲς παιδείαν τιμῶντες ἐν τῷ Ἑλληνικῷ Εἰδυλλίῳ διατρίβουσιν, ὥστε συναυλίαι καὶ ἀκροάσεις τινὲς γίγνονται ἑσπέρας. Καὶ οἷόν τε ἂν εἴη ἄλλον τόπον θεάσασθαι καὶ δρᾶμά τι ἐν ἀρχαίῳ τινὶ θεάτρῳ.

Τοῦδε δὲ τοῦ ἐνιαυτοῦ πρόκειται ἡμῖν ὡς ἀναγνωστέος Ὅμηρος μελετῶσι. Ὁ δὲ διδασκαλίαρχος ἐκλογὴν τινα κομψοτάτων στίχων τοῦ Ὁμήρου παρασχήσει.

Ἐάν τι πλέον καὶ ἀκριβέστερον θέλητε μαθεῖν – περὶ μάλιστα τῆς νυκτερινῆς διαμονῆς καὶ τῶν δωματίων καὶ τῶν λοιπῶν – εἰκὸς ἄν εἴη ὑμᾶς ἐν καιρῷ πυθέσθαι τοῦ τῆς διδασκαλίας καθηγητοῦ Κυρ. Florian Feicht, Schützenstraße 14, 12165 Berlin, Email: *flofeicht@googlemail.com*, Tel. 0170-5835320.

Ἡ τιμὴ ἡ τῆς ἐν πολυκλίνοις δωματίοις διαμονῆς· διακόσια καὶ πεντήκοντα εὐρώ. ἡ τῆς διδασκαλίας τιμή· πεντήκοντα εὐρώ.

Πυθέσθαι ἔξεστι καὶ τοῦ κτίστου καὶ κυρίου τοῦ Ἑλληνικοῦ Εἰδυλλίου καὶ ταύτην λαμπρῶς τὴν διδασκαλίαν χορηγοῦντος Κυρ. Andreas Drekis, *http://www.idyllion.eu*, Hellenikon Idyllion, GR-25100, Selianitika (Egion), *info@idyllion.eu*, *http://www.idyllion.eu/de/programm15.html*, Tel. 0030/26910/72488 Mobil. 0030/6972/263/356.